οὐ λεύσσετε μηνάδος αἴγλαν;
ἀὼς δὴ πέλας ἀὼς
γίγνεται, καί τις προδρόμων
ὅδε γ᾽ ἐστὶν ἀστήρ.
*ΗΜΙΧ.* τίς ἐκηρύχθη πρώτην φυλακήν;
. . . . . . . . . . .
*ΗΜ.* Μυγδόνος υἱόν φασι Κόροιβον.
*ΗΜ.* τίς γὰρ ἐπ᾽ αὐτῷ; *ΗΜ.* Κίλικας Παίων
στρατὸς ἤγειρεν, Μυσοὶ δ᾽ ἡμᾶς.
*ΗΜ.* οὐκοῦν Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
καιρὸς κλήρου κατὰ μοῖραν.
*ΧΟ.* καὶ μὴν αἴω· Σιμόεντος antistr.
ἡμένα κοίτας
φοινίας ὑμνεῖ πολυχορδοτάτᾳ
γῆρυϊ παιδολέτωρ
μελοποιὸς ἀηδονὶς μέριμνα·
ἤδη δὲ νέμουσι κατ᾽ Ἴδαν
ποίμνια· νυκτιβρόμου
σύριγγος ἰὰν κατακούω·
θέλγει δ᾽ ὄμματος ἕδραν
ὕπνος· ἅδιστος γὰρ ἔβα
βλεφάροις πρὸς ἀοῦς.
*ΗΜ.* τί ποτ᾽ οὐ πελάθει σκοπός, ὃν ναῶν
Ἕκτωρ ὤτρυνε κατόπταν;
*ΗΜ.* ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.
*ΗΜ.* ἀλλ᾽ ἦ κρυπτὸν λόχον εἰσπαίσας
διόλωλε; τάχ᾽ ἂν εἴη φοβερόν μοι.
*ΗΜ.* αὐδῶ Λυκίους πέμπτην φυλακὴν
βάντας ἐγείρειν
ἡμᾶς κλήρου κατὰ μοῖραν.

---

536. *προδρόμων*] Musgravius, *πρὸ δόμων* libri. 537. *ὅδε γάρ* *ABC* 541. *Μυσοί*] Bothius, *ΗΜ. Μυσοί* libri. 548. *ὑμνεῖ*] v. l. *θρηνεῖ*. 549. *παιδολέτωρ*] Musurus, *ἁ παιδολέτωρ* libri. 552. *νυκτιβρόμου*] Piersonus, *νυκτιδρόμου* libri. 556. *βλεφάροις*] Musgravius, *βλεφάροισι* libri. 560. *εἰς παίσας* b *εἰσπεσών* ceteri.